Eulogikon
Ancient Greek Texts — Free & Open source

eul_wid: pim-ac

*Θέων ὁ Σμυρναῖος* · Theon of Smyrna II

# Theon's Homeric Commentary Fragments

*Ἀποσπάσματα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Μαθηματικά* Mathematics
**Format:** *Πραγματεία* Treatise

38 (16) Etym. Magn. s. v. Πύελος (ed. Gaisford. Lond. 1848. p. 695) Κυρίως ὅπου τοὺς πυροὺς πλύνουσι, πυρέλους τινὰς ὄντας· ἐκβολῇ τοῦ ρ, πυέλους· πυοὺς δὲ λέγουσι καὶ δίχα τοῦ ρ τοὺς πυρούς. Εἰσὶ δὲ σκαφίδες ἐν αἷς λούονται· παρὰ τὸ πεπυθὸς (τούτεστι τὸ σέσηπος) ἑλεῖν. Οὕτω δὲ ἔλεγον πλυνοὺς, ὡς Θέων ἐν ὑπομνήματι τῆς Ὀδυσσείας (XIX. 553.) Etym. [20]

39 Angel. (ed. Ritschl. p. XII) s. v. Δόρυ· δρύον ἂν εἴη περὶ (παρὰ) τὴν δρῦν, οἷον δρύϊνον. οὕτως εὗρον ἐν ὑπομνήματι Θέωνος εἰς τὴν Ὀδύσσειαν (V. 162. 371). Et. M. s. v. Ἄκμηνος. Λέγεται καὶ ἐπὶ τοῦ ἀκμάζοντος Ὀδυσσείας· (XXIII. 191.) „θάμνος ἐὴν τανύφυλλος ἐλαίης, ἑρκέων ἔντος Ἄκμηνος, θαλέθων.“ Ὁ θάλλων καὶ ἀνθῶν· παρὰ τὸ ἀκμή, ὃ σημαίνει τὴν ἡλικίαν· τοῦτο παρὰ τὸ ἄγω, ἀγή, καὶ πλεονασμῷ τοῦ Κ, καὶ τροπῇ τοῦ Γ εἰς Μ, ἀκμῆ, ἄκμηνος. Et. M. Ἄκμηνος σίτοιο, ἄγευστος, ἄσιτος, διὰ τοῦ Η. Ὁ γὰρ διὰ τοῦ ΗΝΟΣ τύπος τὴν ὀξεῖαν ποθεῖ. Καὶ οἱ μὲν ἁπλῆν παρὰ τὴν ἀκμὴν λέγουσιν· οἱ δὲ σύνθετον, ἤτοι κατὰ στέρησιν τῆς ἰκμάδος, οὐδὲ τὸν μὴ κεκμηκότα περὶ τὰ σιτία. Ὁ δὲ Ἀρίσταρχος τὸν ἄκμηνον λέγει προπαροξυτόνως παρὰ τὴν ἀκμήν· Θέων δὲ ὀξύνεσθαι ἀξιοῖ ὡς ἀγαθός. ἔνιοι δὲ προπερισπῶσιν. Ἢ παρὰ τὴν ἀκτήν, τὸν σῖτον. [ Ἀρετή] αἱρετή τις ἐστίν· ἣν αἱροῦνται πάντες, οὕτως Δίδυμος ἐν ὑπομνήμασιν .... ὡς δὲ ἐν ὑπομνήσει εὗρον Θέωνος, ἀρεστή. καὶ ἀποβολῇ τοῦ ς, ἀρετή, ἡ πᾶσιν ἀρέσκουσα. [32]

40 Ἀρετὴ, ἄρεσκον τῷ θεῷ τι, ἢ ἀρετὴ ἥτις ἐραστὴ καὶ φιλητή. Ἀρετὴ λέγεται παρὰ τὸ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γινόμενον, ἢ ἀρετὴ ἐκ τοῦ ἀρέσκεσθαι καὶ ὑπὸ πάντων ἐπιθυμουμένη .... Stephanum Byz. pg. 290 (ed. Westerm.) s. v. Ὑπερησία· πόλις τῆς Ἀχαΐας· οἵθ᾽ Ὑπερησίην τὲ καὶ αἰπεινὴν Γονόεσσαν· Ὅμηρος. κακῶς δὲ Θέων Ὑπέρειαν αὐτὴν καλεῖ .... scholium omnes dicunt docere ad Olymp. [17]

41 (10) V. 42 (Boeckh. Pind. II. pg. 125) Ἰδαῖον ἄντρον ἐν Ἤλιδι. Δημήτριος ὁ Σκήψιος· νεὼν (cod. νέων) διακόσμου ἱερὸν Διός. ἔνιοι δὲ νομίζοντες μὴ τῶν ἐν Ἤλιδι χωρίων αὐτὸν μεμνῆσθαι, ὑπέλαβον μνημονεύειν Ἴδης τῆς ἐν Κρήτῃ, ἢ τῆς ἐν Τροίᾳ· οὕτω Θέων φησίν. Cod. [15]

42 (7) Paris. Reg. 2630, Etym. Angel. pg. VIII ed. Ritschl.: Γρίπος— Θεόκριτος Τοῖς δὲ μετὰ γριπεῦσι· γριπεὺς γὰρ ὁ ἁλιεύς. καὶ γρίπος τὸ ἁλιευτικοῦ δίκτυον, οἷον ἄγριπον. ἀγρεῖν δὲ τὸ λαμβάνειν. οὕτω Θέων ἐν ὑπομνήματι τῷ εἰς Θεόκριτον. Etym. [10]

44 (22) M. pg. 144 hac de voce affert, comparaveris: Ἁρμὸς, ἁρμοῦ, ἁρμῷ. Αὕτη ἡ δοτικὴ μετῆλθεν εἰς ἐπιῤῥηματικὴν συντονίαν, καὶ ἐφύλαξε τὴν αὐτοῦ γραφήν· οἷον ἁρμῷ σημαίνει τὸ ἀρτίως. Ὁ δὲ

τεχνικὸς λέγει, ὅτι παρὰ τοῖς Συρακοσίοις διὰ τοῦ ι γράφεται. Ἐκεῖνοι γὰρ Ἁρμοῖ λέγουσι κατὰ συστολὴν τοῦ Ω εἰς τὸ Ο, οἷον παρὰ Καλλιμάχῳ· „Ἁρμοῖ γὰρ Δαναῶν γῆ ὡς ἀπὸ βουγενέως.“— Σημαίνει τὸ ἀρτίως ἢ ἁρμοδίως· „Ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχε λεπτὸς ἴουλος.“ Οὕτως Θέων ὁ τοῦ Ἀρτεμιδώρου· προστίθησι δὲ, ὅτι τὸ ἁρμοῖ ψιλούμενον μὲν σημαίνει τὸ ἀρτίως, δασυνόμενον δὲ τὸ ἁρμοδίως. Ἔστι καὶ παρὰ Λυκόφρονι. Steph. [30]

46 (8) B. pg. 166 (= 375 ed. M.) s. v. Κορόπη πόλις Θεσσαλίας. ὁ πολίτης Κοροπαῖος· Νίκανδρος δ’ ἐν Θηριακοῖς (613) „ἧ ἐν Ἀπόλλων μαντείας Κοροπαῖος ἐθήκατο καὶ θέμιν ἀνδρῶν“. οἱ δὲ ὑπομνηματίσαντες αὐτὸν Θέων καὶ Πλούταρχος καὶ Δημήτριος ὁ Φαληρεύς (ὁ Χλωρός M.) φασι· „Νίκανδρος Ὀροπαῖος καὶ Κοροπαῖος Ἀπόλλων. ἀγνοεῖ δ’ ὅτι Ἀμφιαράου ἱερὸν [οὐκ] Ἀπόλλωνός ἐστιν. λέγεται δὲ κατ’ ἔλλειψιν τοῦ Κ Ὀροπαῖος. Κορόπη δὲ Θεσσαλίας πόλις βέλτιον δ’ ὑπονοεῖν, ὅτι ἡμάρτηται καὶ γράφεται Ὀροπαῖος. Ὀρόπη γὰρ πόλις Εὐβοίας, ὅπου Ἀπόλλωνος διασημότατον ἱερόν.“ Quibuscum conspirat schol. Nicandr. Theriae. 614: Κοροπαῖος· τινὲς Θεσσαλικός· Κορόπη γὰρ πόλις Θεσσαλίας. Γράφεται καὶ Ὀροπεῖος· Ὀρόπεια γὰρ πόλις Βοιωτίας, ὅπου διασημότατον ἱερὸν Ἀπόλλωνος. Schol. ad Ther. 237: Πολλάκι μὲν χλοάουσα ἀντὶ τοῦ χλωρά, μεταπεποίηκε δ’ ἐκ τοῦ Νουμηνίου, ὡς φησὶν οὕτως ὑπόχλωρον μὲν ἕλκος—κυκλαίνει, τὸ δὲ πολλὸν ἀνέδραμεν αὐτόθεν ἕλκος. Διογενιανὸς δὲ χλοάειν καλῶς αὔξεσθαι καὶ βλαστάνειν, Θέων δ’ ἐν ὑπομνήματι χλοάουσα ἀντὶ τοῦ οἰδοῦσα, κατὰ πλέον δὲ τίθεται τὸ χλοάειν ἐπὶ τῆς αὐξήσεως. παράκειται τὰ σχόλια ἐκ τῶν τοῦ Λουκίλλου Ταῤῥαίου καὶ Σοφοκλέους καὶ Θέωνος Ἀρκάδες, οἳ καὶ πρόσθε σεληναίης ὑδέονται (IV. [26]

47 (22) 263), atque haec adduntur: τοῦτο δὲ τοὖπος οἱ περὶ τὸν Λούκιλλον τὸν Ταῤῥαῖον, καὶ Σοφοκλεῖον καὶ Θέωνα ἑρμηνεύοντες τάδε φασίν· Οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι. Steph. B. pg. 34 (= pg. 78 M.) s. v. Ἄλος πόλις Ἀχαΐας, καὶ Φτιώτιδος ὑπὸ τῷ πέρατι τῆς Ὄθρυος. ἀπέχει δὲ Ἴτωνος ὡς ἑξήκοντα σταδίους. [35]

48 κτίσαι δ’ αὐτὴν Ἀθάμαντα ἀπὸ τῆς συμβάσης αὐτῷ ἄλης. Θέων δέ φησιν, ὅτι Ἄλος θεράπαινα ἦν Ἀθάμαντος ἡ μηνύσασα τὴν Ἰνὼ φρύγειν τὰ σπέρματα ἧς εἰς τιμὴν τὴν πόλιν ὠνόμασεν, δύο δὲ Παρμενίσκος Ἄλους ἱστορεῖ, τὸν μὲν Μαλιακὸν ὑπὸ Ἀχιλλεῖ, τὸν δὲ ὑπὸ Πρωτεσιλάῳ, λέγεται δὲ καὶ ἀρσενικῶς καὶ θηλυκῶς. τὸ ἐθνικὸν Ἀλεύς, Σοφοκλῆς δὲ Ἀλουσίους. τινὲς δὲ τῶν γλωσσογράφων Ἀλίους. Et. [5]

49 (9) M. pg. 207 v. Βουκεραΐς· Κρήνη ἐν Πλαταιαῖς, ἥτις ὠνόμασται, ὅτι Πόλυβος, ἐξ Ἄργους ἐπέκτισε Πλαταιὰς μετὰ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν βοὸς αὐτῷ ἡγουμένης κατὰ χρησμόν, ὥς ποτε Κάδμῳ· ἣν ἐκεῖσε κατακλιθεῖσαν τῷ κέρατι πατάξαι τὴν γῆν, καὶ κρήνην ἀναφανῆναι, ἣν ἀπὸ τοῦ κέρατος τοῦ βοὸς Βουκεραΐδα καλεῖσθαι. Οὕτω Θέων ἐν τοῖς ὑπομνήμασι τοῦ ά Αἰτίου Καλλιμάχου. Et. M. pg. 160. s. v. Ἄστυρον· Τὸ ἄστυ, Καλλίμαχος· „Ἡ μὲν ἀερτάζουσα μέγα τρύφος ὑψιζώνου ἀστυρὸν εἰσανέβαινεν.“ Εἴρηται παρὰ τὸ ἄστυ ὑποκοριστικῶς ἀστυρόν. Οὕτω Θέων ἐν ὑπομνήματι τοῦ β τῶν Αἰτίων. Stephanus Byz. [25]

50 (8) s. v. Αἴνεια ..... Θέων δ ’ Αἰνειάδας ταύτην καλεῖ ὑπομνηματίζων τὸν Λυκόφρονα (v. 1263). Αἰνειὰς δὲ μετὰ τὴν Ἰλίου πόρθησιν εἰς Θρᾴκην παρεγένετο καὶ ἔκτισε πόλιν Αἰνειάδας ὅπου τὸν πατέρα ἔθαψεν. Steph. B. pg. 176b (= 399 M.) s. v. Κύτινα· πόλις Θεσσαλίας, ὡς Θέων ἐν ὑπομνήματι Λυκόφρονος (1389). ὁ πολίτης Κυτιναῖος. ἔστι καὶ Κυτίνιον μία τῶν τριῶν τῶν Δωρικῶν. τὸ ἐθνικὸν Κυτινιώτης. s. v. Ἀργυρῖνοι· ἔθνος Ἠπειρωτικόν, ὡς Τίμαιος καὶ Θέων, καὶ Λυκόφρων,„ εἰς Ἀργυρίνους καὶ Κεραυνίων νάπας“. οἱ δὲ (συντεθείκασι λέξεις κατὰ στοιχεῖον) τὰς κωμικὰς ἰδίᾳ καὶ τὰς τραγικάς, ὡς Θέων καὶ Δίδυμος καὶ ἕτεροι τοιοῦτοι. [25]

54 Hesych. s. v. Ἀγνῶτες· θεῷ οὕτω λέγεσθαί φασι τοὺς μετὰ τὸν τῆς Ἰλίου πλοῦν Φαλεροῖ προσχόντας καὶ ἀναιρεθέντας ὑπὸ Δημοφῶντος ταφῆναι. Hesychii lexico s. v. Σκίταλοι· ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἀφροδισίων καὶ τῆς προυνικίας τῆς νυκτερινῆς θεούς τινας ἐσχημάτισεν. Θέων δέ φησι πεπλᾶσθαι τοὔνομα. apud Phrynichum pg. [30]

55 (6) 377 ed. Lob.: Σαπρὰν οἱ πολλοὶ ἀντὶ τοῦ αἰσχράν. Θέων φησὶν ὁ γραμματικὸς εὑρηκέναι παρὰ Φερεκράτει ληρῶν. ἅπαντα γὰρ, ἃ φέρει μαρτύρια, ἐπὶ τοῦ παλαιοῦ καὶ σεσηπότος εὕρηται κείμενα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org